# TEZAUR LITURGIC

## 19 APRILIE

# SLUJBA SF.CUVIOS SIMEON DE LA FILOTEU-ATHOS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 19 ΑΠΡΙΛΙΟΣ
# ΟΣΙΟΣ ΣΥΜΕΩΝ Ο ΜΟΝΟΧΙΤΩΝ ΚΑΙ ΑΝΥΠΟΔΗΤΟΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Συμεὼν πανάριστε Χριστοῦ, φίλε γνησιώτατε, καὶ τῆς Ἑλλάδος τὸ βλάστημα, καὶ θεῖον καύχημα, τὸν Χριστὸν ποθήσας, καὶ πρὸς τοῦτον ἔδραμες, καὶ πλοῦτον καὶ οὐσίαν ἐμίσησας, Χριστῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πάντες εὐφημήσωμεν πιστοί, Συμεὼν τὸν ἔνδοξον, ὡς καθαρὸν οἰκητήριον, τοῦ θείου Πνεύματος, καὶ ὡς καθαιρέτην, τῶν δαιμόνων ἄγρυπνον, καὶ πάσης μαλακίας ἀκέστορα, ἵνα πρεσβεύει νῦν, τῷ Θεῷ τῷ πανοικτίρμονι, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Πάντας τοὺς τῇ μνήμῃ σου πιστῶς, ἑορτὴν ἐγείροντας· παθῶν παντοίων ἀπάλλαξον, ψυχῆς καὶ σώματος, καὶ τῆς Βασιλείας, τοῦ Θεοῦ ἀξίωσον, διὰ τῶν σῶν δεήσεων Ὅσιε, καὶ νῦν ἱκέτευε, τὸν Θεὸν τὸν σὲ δοξάσαντα, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἐκ βρέφους τὸν Κύριον θερμῶς, Πάτερ ἐπεπόθησας, καὶ τοῖς αὐτοῦ ἠκολούθησας, ἴχνεσιν Ὅσιε, πάντα τὰ παρόντα, οὐδὲν ἡγησάμενος, οὐ

πλοῦτον οὐ γονέων συγγένειαν, ὡς ἀνυπόστατα, διὰ τοῦτο δυσωποῦμέν σε, τοῦ πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος δ΄.*

Ὅσιε Πάτερ, τὸν Σταυρὸν τοῦ Κυρίου ἐπ’ ὤμων ἀναλαβών, την στενὴν καὶ τεθλιμμένην ὁδὸν διήνυσας· λιπὼν τὰ φθειρόμενα, καὶ τὰ διαμένοντα φθάσαι ἐπειγόμενος· διὸ καὶ τὸ σῶμα τῇ ἐγκρατείᾳ μαράνας, καθυπέταξας τῷ πνεύματι, δόκιμος γενόμενος τῶν ἐντολῶν τοῦ Κυρίου ἐργάτης· δι’ ὧν τὸ ἀρχέτυπον κάλλος τῆς εἰκόνος, ἀμόλυντον διετήρησας· ὅθεν καὶ τὰ γέρα ἀξίως, ἐν οὐρανοῖς ἀπολαμβάνεις, ἐκ χειρὸς τοῦ μισθαποδότου· Ὃν ἐκτενῶς ἱκέτευε, Συμεὼν πατὴρ ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. β΄. Τριήμερος ἀνέστη,*

Τοῖς πόνοις τῆς ἀσκήσεως, εἰς ὕψος ἀναβὰς ἀρετῶν, ἔξω κόσμου, γεγονὼς καὶ τῆς σαρκός, οἶκος ἡγιασμένος, Πνεύματος παναγίου, ὤφθης παμμάκαρ ἱερὲ Συμεών.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Τὸ πνεῦμά σου σοφὲ Συμεών, εἰς χεῖρας τοῦ Θεοῦ καθαρόν, ἐναπέθου ὡς ἐδέξω παρ’ αὐτοῦ· διὸ καὶ συνευφραίνῃ, κάλλος τὸ τοῦ Δεσπότου, ὁρῶν τρανῶς καὶ μεγαλύνων ἀεί.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

Ὡς ἄϋλος βιώσας ἐν γῇ, ἀϋλων συναγάλλῃ χοροῖς, καὶ Ὁσίων ἀναπαύῃ ἐν σκηναῖς, Χριστὸν οὖν ἐκδυσώπει, δοῦναι εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

*Δόξα. Καὶ νῦν.* Θεοτοκίον.

Πανύμνητε κατάβαλλε, ἐχθρῶν μιαιφονούντων ὀσχύν, καὶ τὴν λύπην τοῦ λαοῦ Σου εἰς χαράν, μετάβαλλε Παρθένε, καὶ ἔλεος παράσχου, ὅπως σωθέντες ἀνυμνοῦμέν Σε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. δ’.*

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Συμεὼν Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ’ τῆς Ἑορτῆς καὶ γ’ τοῦ Ὁσίου. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου.

Πάτερ, Συμεὼν θεόσοφε, σὺ τὸν ζυγὸν τοῦ Χριστοῦ, ἐπὶ ὤμων ἀράμενος, τὴν στενὴν διόδευσας, τρίβον ὄντως τὴν φέρουσαν, εἰς πλάτος θεῖον τοῦ παραδείσου σπουδῇ, καὶ τῆς πλατείας καταπεφρόνηκας, τοὺς διοδεύοντας, ταύτην εἰς ἀπώλειαν παναληθῶς, καταγούσης· ὅθεν σε, ὑμνοῦμεν σήμερον.

Ὅλην σου Πάτερ τὴν ἔφεσιν, διὰ παντὸς τῷ Θεῷ, ἀναθεὶς ἐκ νεότητος, σεαὐτὸν ὑπέρλαμπρον, ἀρετῶν οἶκον ἔδειξας, ταῖς φωτοβόλοις τὸν νοῦν πτερώσας σου, πρὸς νοῦν τὸν πρῶτον, ἐνθέως ἔφθασας, θείαις ἐμφάσεσι, Συμεὼν ἰσάγγελε ὑπὲρ ἡμῶν, μὴ παύσῃ δεόμενος, τῶν εὐφημούντων σε.

Τίμιος ὄντως ὁ θάνατος, σοῦ Συμεὼν τοῦ Θεοῦ, ἐναντίον καθέστηκε, τοῦ πάθη νεκρώσαντος, καὶ τὴν σάρκα μισήσαντος, καὶ καθελόντος ἐχθροῦ τὴν δύναμιν, εις τέλος Πάτερ, καὶ νῦν πρεσβεύοντος, ὑπὲρ τὴν μνήμην σου, τῶν τελούντων ἔνδοξε χρεωστικῶς, καὶ ἀσπαζομένων σου, κάραν τὴν πάνσεπτον.

*Δόξα. Ἦχος πλ. β΄.*

Νουνεχῶς θεοφόρε τὴν τῆς ψυχῆς κατοπτεύσας εὐγένειαν, ἔσπευσας ταύτῃ καθυποτάξαι τὸ χεῖρον ὡς κρείττονι· καὶ τὸ κατ᾽ εἰκόνα ἀλώβητον διατηρῆσαι, ἐντεῦθεν καὶ πρὸς τὴν ἀρχαίαν ἀνηνέχθης λαμπρότητα, θέσει θεὸς γεγονὼς μελέτην καὶ γὰρ θανάτου πάντα τὸν βίον σου θέμενος, τὸν νοῦν κατὰ παθῶν ὀλεθρίων ἡγεμόνα κατέστησας· διὸ καὶ πρὸς τὰς οὐρανίους σκηνὰς μετατεθείς, ἀμέσως ἐντυγχάνεις

τῇ Ἁγίᾳ Τριάδι, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν μνήμην σου τὴν σωτήριον.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ

λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Ἀγάλλεται σήμερον ἡ Ἐκκλησία τοῦ Θεοῦ, λαμπρυνομένη τῇ χάριτι, καὶ πιστῶς πανηγυρίζει τῶν φιλεόρτων τὰ συστήματα, ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ σου, Συμεὼν θεόσοφε, καὶ δοξάζει Χριστόν, τὸν τὴν χάριν νέμοντα τοῖς ἐκ πόθου βοῶσί σοι· χαίροις, Θετταλίας ἀστὴρ χρυσαυγέστατε, καὶ τῶν φοιτητῶν σου λαμπαδοῦχε φαεινέ· χαίροις ἀοίδιμε, ὁ τοῖς πανσόφοις λόγοις σου, ἁπάσης καταφωτίσας Ἑλλάδος τὸ ἔδαφος· χαίροις, τὸ ἡμέτερον καύχημα, καὶ τῶν σὲ τιμώντων φαιδρὸν ἀγαλλίαμα.

*Ἦχος β΄.*

Ὁ μόνος ἐν Ἁγίοις ἀναπαυόμενος Θεός, τὴν ἡγιασμένην σου ψυχήν, καθαρὸν εὑρὼν καταγώγιον, ἐν αὐτῇ κατώκησε, καὶ θείων χαρίτων αὐτὴν ἐνέπλησε· δι’ ὧν φωταγωγεῖς τοὺς ὑμνοῦντας, ἡγιασμένε Συμεὼν μακάριε.

*Ἦχος πλ. α΄.*

Ἀγγελικὸν βίον ἐν γῇ ἐπιδειξάμενος, Ὅσιε Πάτερ θεοφόρε Συμεών, ἄνθρωπος οὐράνιος ἀπεφάνθης· τὰ σὰ γὰρ πάντα καὶ σεαυτὸν τῷ κτίστῃ σου ἀφιέρωσας· ὅθεν, τὰ πάντα σκύβαλα ἡγησάμενος, οὐδέν σοι πρὸς τοὺς ἀγῶνας ἐμποδὼν ἀντικατέστη, ἀλλ’ ὡς φίλην καὶ σύνοικον τὴν ἀρετὴν κτησάμενος, προσήχθης ὑπ’ αὐτῆς ἐνώπιον τοῦ Βασιλέως Χριστοῦ, ὡς ὅσιος, ὡς ἱερεύς, πράξει καὶ θεωρίᾳ· ἡμῖν ἐξαιτούμενος, τοῖς ἐν πίστει προσκυνοῦσί σου τὴν τῶν λειψάνων θείαν λάρνακα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῶν τοῦ βίου ἡδέων ἁπάντων ὑπεριδών, πρὸς μόνον τὸν ὄντως σώζειν δυνάμενον, τὸν νοῦν ὡς ἐχέφρων ἀνατεινόμενος, σκεῦος καθαρὸν αὐτοῦ ἐχρηματίσας· ὅθεν καὶ χάριν ἀπείληφας, τοῦ ἰᾶσθαι τὰς νόσους τῶν πιστῶς προσιόντων ἐν τῇ ἁγίᾳ σορῷ σου· διὸ συνελθόντες προθύμως, πανηγυρίζομεν ἐν τῇ μνήμῃ σου θεόφρον Συμεών, τοῦ εὑρεῖν ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις σου.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Ἀσκήσει πανεύφημε πολλῇ, ὄντως λαμπρυνόμενος, ἱερομύστα Πατὴρ ἡμῶν, ὡς φαεινότατος, φωστὴρ ἀνεδείχθης, διατρέχων ἅπασαν, Ἑλλάδα καὶ λαμπρύνων τοῖς λόγοις σου, καὶ νῦν ἱκέτευε, διαμένειν σοῖς διδάγμασι, μέχρι τέλους Συμεὼν τρισόλβιε.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Πανεύφημε Πάτερ Συμεών, μοναστῶν τὸ καύχημα, σὲ εὐσεβῶς μακαρίζοντες, Χριστὸν δοξάζομεν, τὸν θαυμάτων πλήθει, τὴν σὴν κάραν στέψαντα, καὶ πάντας διὰ σοῦ Πάτερ σῴζοντα· αὐτῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

Φυτοῦ γεύσει πάλαι τοὺς ἡμῶν, γενάρχας νεκρώσαντα, νεκρὸν ἀπέδειξας Ὅσιε, τῇ καρτερίᾳ σου· αἴθριος γὰρ Πάτερ, ἡμέρας τὸν καύσωνα, νυκτὸν τὸν παγετὸν χαίρων ἔφερες, φυτὸν κτησάμενος, καλιὰν ὡς ὄρνις εὔλαλος, ἔνθα Πάτερ πρὸς πόλον ἀνέδραμες.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἀσκητικοῖς ἀγῶσι σεαυτὸν κατακοσμήσας, τῶν θεοφόρων πατέρων συνόμιλος γέγονας, Συμεὼν θεόσοφε. Πάντα γὰρ πόνον ἀσκητικὸν ὑπομείνας, ἀπείληφας τὸ βραβεῖον τῆς ἄνω κλήσεως· διὸ ἡ σὴ

Λαύρα κομπάζει τὰ θαύματα ὁμοῦ καὶ τὰ διδάγματα, καὶ ἡ λάρναξ τοῖς ἐν αὐτῇ προσιοῦσι βρύει ἰάματα· ὅθεν καὶ ἡμῖν ψυχικῶν νοσημάτων, τὴν ἴασιν ὄμβρισον, ὅπως δοξάζομεν τὸν σὲ ἀξίως δοξάσαντα Κύριον.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. δ'.*

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Συμεὼν Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Τὴν πτωχείαν Ἰησοῦ, ἐπιποθήσας εὐσεβῶς, πλοῦτον ἔλειπες φθαρτόν, καὶ ῥέουσαν ζωὴν σοφέ, καὶ τὸν Σταυρὸν ἐπ' ὤμων ἀράμενος· τρίβον τὴν στενὴν χαίρων διήνυσας, πατῶν τὰς ἡδονὰς τὰς τοῦ σώματος, δι' ἐγκρατείας ἅγιε ἁπάσης, κακοπαθείας τε ἔφθασας,

πρὸς πλάτος θεῖον τοῦ Παραδείσου· Συμεὼν Πατὴρ ἡμῶν Ὅσιε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὴν β’ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὴν ματαιότητα, κόσμου ἐμίσησας, καὶ τὰ οὐράνια, κάλλη ἐπόθησας, τὰ τῆς σαρκὸς πάθη διό, γενναίως ἐνέκρωσας· Συμεὼν θαυμάσιε, τῶν Ἀγγέλων συνόμιλε· ὅθεν καὶ ἰάσεων ῥεῖθρα βρύει τοῖς πίστει σου, τὴν μνήμην ἐκτελοῦσι τὴν θείαν, Πάτερ ἀξιοθαύμαστε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Νέος ἥλιος, τῇ Ἐκκλησίᾳ, ἀνατέταλκας, τῶν ἀρετῶν σου, ἀνατολῆς καὶ θαυμάτων πυρσεύμασι, καταλαμπρύνας πιστῶν τὰ συστήματα, καὶ ὀπαδῶν σου φαιδρύνας τὰ πρόσωπα, Συμεὼν ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Εἶτα οἱ Ἀναβαθμοί, τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, δι’ ὧν ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παῤῥησίαν ἔχων πρὸς Κύριον, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τοῦ Ὁσίου δύο.

Ὁ α’ Κανών.

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Ἄνωθεν ἅπαν τοῖς ἀνθρώποις δώρημα ἐκ σοῦ κατέρχεται, τῶν τοῦ Πατρὸς φώτων· ὅθεν μοι τὴν πάμφωτον, ἐφιεμένῳ δώρησαι, θείου Πνεύματος χάριν, ὑμνῆσαι μνήμην ἐν ᾄσμασιν, νέου Συμεὼν ὦ φιλάνθρωπε.

Ταῖς ἀστραπαῖς τοῦ Παρακλήτου πάνσοφε καταστραφθεὶς τὴν ψυχήν, τὸν κοσμικὸν κούφως, ἔπλευσας κλυδώνιον, ἰσάγγελε καὶ ἔφθασας, πρὸς σκηνὰς αἰωνίους, ἔνθα σοφῶς τὸ πολίτευμα, ἔσχηκας ὡς Παῦλος ἀοίδιμε.

Κόσμον καὶ σάρκα ὡς ἐχέφρων Ὅσιε σπουδῇ μισήσας πολλῇ, νῦν πρὸς αὐτὸ ᾔρθης, ὄντως τὸ ἀκρότατον, τῶν ἐφετῶν τρισόλβιε, διὰ τοῦτο καὶ μόνος,

πάντων ἀπέδηλος ἤνυσας, Πάτερ τὸν ἀσκήσεως δίαυλον.

*Θεοτοκίον.*

Δεδουλωμένον ἡδοναῖς τοῦ σώματος τὸν νοῦν μου Δέσποινα καὶ ἀγαθὴ μόνη, ὅλον ἐλευθέρωσον, καὶ δοῦλον γνησιώτατον, ἀγαθῶν ἐργασίαις, τοῦ Σοῦ Υἱοῦ με ἀνάδειξον, ὅπως κατὰ χρέος δοξάζω Σε.

Ὁ β’ Κανών.

*ᾨδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοί.*

Ὑμνολογεῖν, ᾄσμασι Πάτερ τὴν μνήμην σου, τὸν τῶν ἁπάντων Κύριον χάριν δοθῆναί μοι, καὶ Θεὸν ἐκδυσώπει, ψυχῇ τε καὶ καρδίᾳ προελομένῳ ἀεί.

Μετὰ σαρκός, τὸν δυσμενῆ κατεπάλαισας, ἐπὶ τῆς γῆς ὡς ἄσαρκος καὶ κατεπάτησας, τὰς αὐτοῦ μεθοδείας· διό σε καὶ στεφάνοις Χριστὸς κατέστεψε.

Νοῦν ἡγεμόνα, σοφὲ κατὰ παθῶν φθοροποιῶν ἔσχηκας, τὰ τῆς σαρκὸς σκιρτήματα, κημῷ μακάριε, Συμεὼν χαλινώσας, καὶ πόνοις ἐγκρατείας πολλοῖς τρισόλβιε.

*Θεοτοκίον.*

Ὡς τοῦ παντός, τὸν Κτίστην πάναγνε τέξασαν, καὶ μετὰ τόκον μείνασαν ἀδιαλώβητον, Θεοτόκε Μαρία· διό Σε μακαρίζει ἡ κτίσις ἅπασα.

*ᾨδὴ γ΄. Ὁ στερεώσας κατ’ ἀρχάς.*

Φωτίσας μάκαρ σεαυτόν, τῆς διακρίσεως φέγγει, καὶ σκεδάσας τῶν παθῶν τὸ ζοφῶδες, τῆς καρδίας ἐν

πλαξί, τῆς ἀπαθείας εἴληφας, Πάτερ τὸν θεῖον νόμον, καὶ ἀφθαρσίας ἐπέτυχες.

Ἀνεπιστρόφῳ λογισμῷ, καὶ διανοίᾳ συντόνῳ, τὴν σκληράν, καὶ τεθλιμμένην προθύμως, καὶ τραχεῖάν τε ὁδόν, Συμεὼν χαίρων ὥδευσας· ὅθεν πρὸς θεῖον πλάτος, τοῦ Παραδείσου κατήντησας.

Σὺ τὸν ζυγὸν τὸν ἐλαφρόν, τὸν τοῦ Κυρίου βαστάσας, σῶν ἐπ᾽ ὤμων Συμεὼν θεοφόρε, κατεπάτεις τῆς σαρκός, τὰς ἡδονὰς καὶ ἔκραζες, ὄντως οὐκ ἔστι πλήν σου, Ἅγιος μόνε φιλάνθρωπε.

*Θεοτοκίον.*

Τῶν Χερουβεὶμ καὶ Σεραφείμ, ἐδείχθης ὑψηλοτέρα, Θεοτόκε Σὺ γὰρ μόνη ἐδέξω, τὸν ἀχώρητον Θεόν, ἐν Σοὶ γαστρὶ ἀμόλυντε· διὸ πιστοί Σε πάντες, ὕμνοις ἁγνὴ μακαρίζομεν.

*Ἕτερος. Στερέωσον ἡμᾶς.*

Συνὼν ταῖς τῶν Ὁσίων ὁμηγύρεσι, τρισμάκαρ ἀΰλων ταγμάτων τε καὶ ἁπάντων, τῶν Ἁγίων καθικέτευε, τὸν Σωτῆρα Χριστὸν ὑπὲρ τῆς ποίμνης σου.

Ἐγένου πρακτικῆς σοφίας ἔμπλεως, καὶ τύπος ἀζύγων σοφὲ καὶ στήλη, ἐγκρατεία τῶν τὴν ποίμνην σου, παμμακάριστε ὄντων καὶ κανὼν ἀρετῆς.

Πιστῶς ἐπὶ τῇ μνήμῃ συνεισέλθωμεν, τοῦ θείου ποιμένος καὶ τρισολβίου, Συμεὼν καὶ ἐκτελέσωμεν, εὐφροσύνης ἡμέραν, ὦ θεόφρονες.

*Θεοτοκίον.*

Ὁ μονὸς καθαρὸς καὶ πανακήρατος, οἰκῆσαι ηὐδόκησε Θεομῆτορ, ἐν τῇ Σῇ νηδύϊ ἄχραντε, βουληθεὶς τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Πτωχείαν μακάριε ἐπιποθῶν τοῦ Χριστοῦ, τὸν κόσμον κατέλιπες καὶ τὰ τοῦ κόσμου τερπνά, καὶ ἤσκησας ἄριστα· ὅθεν θαυματοφόρος, Συμεὼν ἐγνωρίσθης, νέμων τοῖς προσιοῦσι, τῇ τιμίᾳ σορῷ σου, ἀφθόνως τὰς ἰάσεις· διὸ πιστῶς σε γεραίρομεν.

*Δόξα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὰς φροντίδας τοῦ βίου τὰς λυπηράς, καὶ σαρκὸς τὰς ὀρέξεις καταβαλών, τὰ πάθη ἐνέκρωσας, τὴν ψυχὴν ἀνεπτέρωσας, τὸν Σταυρὸν ὡς ὅπλον ἐπ᾽ ὤμων ἀράμενος, ἐν αὐτῷ δὲ πᾶσαν ἰσχὺν ἐνδυσάμενος· ὅθεν τοῦ βελίαρ, ἐτροπώσω τὸ θράσος, λαβὼν γὰρ τὰ τρόπαια, ἐν τοῖς θείοις παλαίσμασιν, ὦ Συμεὼν θεόσοφε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἐν τρισὶν ὅλοις ἔτεσιν, αἴθριος τρισμάκαρ φυτῷ σκεπόμενος, ἐκαρτέρεις τὴν ἐξ Ὕψους σε, συντηροῦσαν χάριν ἔνδοξε.

Γυμνωθεὶς κατεπάλαισας, τὸν Ἀδὰμ ἐνδύσαντα τῆς νεκρώσεως, τοὺς χιτῶνας καὶ ἀνέδραμες, ἔνθα Πάτερ ἔσχες τὸ πολίτευμα.

Ἱκετεύω σε Ὅσιε, λοιμικῆς πανώλους ἡμᾶς ἀπάλλαξον, τοὺς τὴν κάραν προσκυνοῦντάς σου, καὶ δεινῶν κινδύνων καὶ κακώσεων.

*Θεοτοκίον.*

Γηγενῶν ὁδηγήτρια, πρὸς τὰς σωτηρίους ὁδοὺς ὑπάρχουσα, τῶν γηΐνων περιστάσεων, καὶ παθῶν με ῥῦσαι Θεονύμφευτε.

*Ἕτερος. Ἐλήλυθας ἐκ Παρθένου.*

Θεότητὸς τὰς αὐγάς, θεοφόρε εἰσδέδεξαι, τὸν νοῦν καθηράμενος, καὶ τὴν ψυχὴν ἐργασάμενος, σκεῦος θείου Πνεύματος, τοῦ παναγίου τρισμάκαρ ἱερώτατε.

Ὡς εὔκαρπον καὶ ὑψίκομον δένδρον Πατὴρ ἡμῶν, δακρύων προσχήσεσι, καρποὺς τῶν πόνων προσήνεγκας· πάντων ἐπ᾽ εὐφραίνοντας, τὰς διανοίας θεόφρον τῶν ὑμνοῦντων σε.

Σοφίας σου ἡ καρδία πλησθεῖσα τοῦ Πνεύματος, διδαγμάτων ἄβυσσον, λαμπρῶς θεόφρον ἀνέβλυσε· Συμεὼν Πατὴρ ἡμῶν, τῶν πιστῶν τὰς καρδίας καταρδεύουσα.

*Θεοτοκίον.*

Ὑπερτέρα πάσης κτίσεως πέφυκας ἄχραντε· τὸν γὰρ Κτίστην τέτοκας ὑπὲρ αἰτίαν καὶ ἔννοιαν, ᾧ ἐκδυσωποῦμέν Σε, πάντας σωθῆναι Παρθένε, ἡμᾶς πρέσβευε.

*ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Ἀρετὴν ὥσπερ μίαν, πάσας σὺ κατόρθωσας Συμεὼν ἔνδοξε, καὶ πρὸς θείας ὄντως, καταπαύσεις σκηνώσας εὐφραίνει νῦν, μετὰ τῶν Ὁσίων, μεθ’ ὧν μνημόνευε ἁπάντων, τῶν τελούντων ἐκ πόθου τὴν μνήμην σου.

Καθ’ ἑκάστην ἡμέραν, σὲ ἐπικαλοῦμαι τὸν μέγαν προστάτην μου, ἐν παντί με τόπῳ, καὶ καιρῷ διαφύλαξον ἄτρωτον, ἐκ λοιμώδους νόσου, καὶ ἐπηρείας ἐναντίων, ἡ σὴ ποίμνη βοᾷ σοι πανόλβιε.

Ἰακὼβ σὺ πλουτήσας, Συμεὼν ἰσάγγελε τὸν καρτερόψυχον, καὶ Δαβὶδ τὸ πρᾷον, τοῦ Ἰὼβ τὸ γενναῖον ἐν θλίψεσι, τοῦ Ἰωσὴφ τὴν σωφροσύνην, καὶ Ἀβραὰμ φιλοξενίαν, χαρισμάτων μετέσχες τοῦ Πνεύματος.

*Θεοτοκίον.*

Παναγία Παρθένε, Λόγον τὸν πανάγιον ἀποκυήσασα, τῆς ψυχῆς μου πᾶσαν, ἀθυμίαν καὶ λύπην ἀπέλασον, καὶ εὐόδωσόν μου, τὸν λογισμὸν τὰ θεῖα πράττειν, ἵνα πόθῳ καὶ πίστει δοξάζω Σε.

*Ἕτερος. Ὁ τοῦ φωτὸς χορηγός.*

Μακάριος ἀληθῶς, Πάτερ ἐγένου Συμεὼν Ὅσιε, πλουτοποιὸν πτωχείαν καὶ πένθος κτησάμενος σοφέ· δι’ ὧν Βασιλείαν οὐράνιον εἴληφας.

Ἔδειξας Πάτερ τὸν σόν, βίον ἀσκήσεως πολλοῖς στάδιον, δι’ ἀκραιφνοῦς νηστείας καὶ στάσεως στεῤῥᾶς, ἐφάμιλλος θείοις Ἀγγέλοις γενόμενος.

Ὤφθης τῆς χάριτος τῆς θεϊκῆς, χωρητικὸν σκήνωμα, τῶν γὰρ παθῶν πάντων ὑπερεῖδες σοφέ, τῶν σαρκικῶν· ὅθεν σου τὴν μνήμην, τιμῶμεν τρισόλβιε.

*Θεοτοκίον.*

Νόμοι τῆς φύσεως Παρθενομῆτορ, ἐπὶ Σοὶ λέλυνται, τὸν γὰρ Υἱόν· Πατρὸς τοῦ ἀνάρχου, σαρκὶ ὑπερφυῶς τέτοκας, τελείαις ἐν δύῳ φύσεσι.

*Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Τὸν βίον ὡς ἀληθῶς, τοῦ Βαπτιστοῦ τὸν ἰσάγγελον, ἐκτήσω καὶ Ἠλιού, γυμνὸς ὀρεσίτροφος, ξένος παρεπίδημος, καθώσπερ ἐκεῖνος, ἐν τῷ κόσμῳ διαιτώμενος.

Ἡ Βύζαντος ἐν χαρᾷ, ὡς κεκτημένη τὸν τάφον σου, καυχᾶται δὲ τοὺς πολλούς, σὴ ποίμνη ὡς ἔχουσα, ἱδρῶτάς σου γάννυται, Συμεὼν τρισμάκαρ, καὶ σορὸν θείων λειψάνων σου.

Τῶν κοσμικῶν ταραχῶν, τὸν νοῦν φυλάξας ἀτάραχον, τὸ ταραχῶδες παθῶν, διῆλθες κλυδώνιον· διὸ καὶ κατέπαυσας, εἰς τὰς ἀταράχους, καταπαύσεις παναοίδιμε.

*Θεοτοκίον.*

Ὑμνοῦμέν Σε οἱ πιστοί, θεοχαρίτωτε Δέσποινα, τὸν ὑπερύμνητον γάρ, Θεὸν ἀπεκύησας· Ὃν δυσώπει ἄχραντε, πόλιν καὶ λαόν Σου, ἐν εἰρήνῃ διασώζεσθαι.

*Ἕτερος. Ἦχου ῥημάτων δεήσεως.*

Τρίβον στενὴν Πάτερ ὥδευσας, καὶ τοῖς σοῖς λόγοις, ταύτην τοῖς λαοῖς θεοφόρε πᾶσιν ἐναπέδειξας· ἣν πρὸς πλάτος ζωῆς, οἱ βαδίζοντες ἔρχονται.

Ἵστατο Πάτερ ἀκλόνητος, ταῖς ὁλονύχταις καὶ ἡμεριναῖς προσευχαῖς, τὸν νοῦν ἐκκαθηράμενος, τῆς Ἁγίας Τριάδος ἐγένου καταγώγιον.

*Θεοτοκίον.*

Ὁ τῶν ἀνθρώπων τὸ φύρανα, ἐκ Σοῦ Παρθένε ὅλον προσλαβών, καὶ θεώσας τοῦτο ἀνεκαίνισε, συντριβὲν παραβάσει Χριστὸς ὁ Θεός.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Οὐσιωθεὶς ὅλος Θεῷ Συμεὼν Ὅσιε, καὶ λαμπρυνθεὶς ταῖς ἀρεταῖς Πάτερ ὡς ἥλιος, ἐναπήστραψας τοῖς θαύμασι καὶ τὸν κόσμον, κατεφώτισας σημείοις καὶ διδάγμασιν· ὅθεν πέφυκας ἀλείπτης μοναστῶν ἄριστος, διὸ κράζομεν· Χαίροις Πάτερ τρισόλβιε.

*Ὁ Οἶκος.*

Ἄνθρωπος μὲν ἐν κόσμῳ, Συμεὼν ἐγνωρίσθης, ἀλλ' Ἀγγέλοις τῷ βίῳ καθωμοιώθης· ταῖς ἀρεταῖς γὰρ καὶ τοῖς θαύμασιν ἐδόξασέ σε Χριστὸς τρισμάκαρ· διὸ καὶ τιμῶντές σε, ᾄσμασι καὶ πόθῳ βοῶμέν σοι ταῦτα·

Χαίροις, τερπνὸν τῆς Εὐρώπης κλέος·
χαίροις, σεπτὸν τῆς Ἑλλάδος ἔρνος.
Χαίροις, μοναζόντων ἀγλάϊσμα πάνσεπτον·
χαίροις, τῆς ἐρήμου στεῤῥὸν καλλιέργημα.

Χαίροις, ὅτι ἠκολούθησας ἐκ νεότητος Χριστῷ·
χαίροις, ὅτι κατεμάρανας τὰς ὀρέξεις τῆς σαρκός.
Χαίροις, τῶν ἀσθενούντων προμηθεὺς καὶ ἀκέστωρ·
χαίροις, τῶν πενομένων ἀρωγὸς καὶ προστάτης.
Χαίροις, πηγὴ θαυμάτων θεόβρυτος·
χαίροις, τῶν πιπτόντων πολλῶν ἡ ἀνόρθωσις.
Χαίροις, πολλῶν ἀθυμούντων ὁ ῥύστης·
χαίροις, πολλῶν παροχεὺς δεομένων.
Χαίροις, Πάτερ τρισόλβιε.

*Συναξάριον.*

*Τῇ ΙΘ΄ τοῦ αὐτοῦ Μηνός, ὁ Ὅσιος Συμεών, ὁ ἀνυπόδητος καὶ μονοχίτων, ὁ ἡγούμενος τῆς ἐν τῷ Ἄθῳ Ἱερᾶς Μονῆς τοῦ Φιλοθέου, καὶ κτίτωρ τῆς ἐν τῷ ὄρει τοῦ Φλαμουρίου Πηλίου, Μονῆς τῆς Ἁγίας Τριάδος, ἐν εἰρήνῃ τελειοῦται.*

*Ἀνυπόδητος Συμεών, βαίνων μάκαρ,*
*τὸν πτερνίσαντα τοὺς βροτοὺς πατεῖς ὄφιν.*
*Γῆν μακάρων λάχες, ἐννέα καὶ δεκάτῃ σὺ Συμεών.*

*ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Πόθῳ τὴν μνήμην σου τελοῦσι, λύσιν αἴτησαι πταισμάτων καὶ ὑγείαν, τῶν σωμάτων πολλὴν ὡς ἔχων παῤῥησίαν, πρὸς τὸν Σωτῆρα Ὅσιε, Ὃν ὑμνοῦμεν εἰς αἰῶνας.

Οἶκος Τριάδος ἀνεδείχθης, θανατώσας σου τὸ τριμερὲς τρισμάκαρ, τῆς ψυχῆς δὲ θερμῶς, αὐτῇ βοῶν

οὐ παύῃ, εἰς τοὺς αἰῶνας δόξα Σοι, τῷ Θεῷ τῷ ἐν Τριάδι.

Φέγγει τῷ θείῳ θεοφόρε, καταλάμψας σου τὸν νοῦν ἐδείχθης στύλος, φωταυγῆς φρυκτωρῶν, Ἑλλάδα πᾶσαν φέγγει, τῶν φαεινῶν σου πράξεων, καὶ θαυμάτων λαμπηδόσι.

*Θεοτοκίον.*

Ὄρος κατάσκιον προβλέπων, ἀχειρότμητος ἐξ οὗ ἐτμήθης λίθος, τὴν λιθώδη· διό, κατάνυξον ψυχήν μου, πεπωρωμένην Δέσποινα, ταῖς πικραῖς φιληδονίαις.

*Ἕτερος. Εἰκόνος χρυσῆς.*

Σκιρτάτω φαιδρῶς, μοναζόντων ἡ πληθὺς ἐπὶ τῇ μνήμῃ, τοῦ θεοφόρου καὶ συγκάλεσον, τῶν εὐσεβῶν τὰ συστήματα, πρὸς πνευματικὴν πανδαισίαν, καὶ εὐρύθμως ψαλλάτωσαν· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἰσχὺς Συμεών, σοὶ δεδώρηται σαφῶς παρὰ τοῦ πάντων, Θεοῦ καὶ κτίστου τὴν πανόλεθρον, τοῦ κοσμοκράτορος δύναμιν, πᾶσαν διόλεσας ὥσπερ τις ἀριστεὺς εὐτονώτατος· ὅθεν μεγάλως παρ᾽ Αὐτοῦ, Πάτερ δεδόξασαι.

*Θεοτοκίον.*

Ὁ μήτραν τὴν Σήν, ὑποδὺς Θεοῦ Υἱὸς Θεοχαρίτωτε, βροτὸς ἀτρέπτως ἐχρημάτισεν, ἐν δυσὶ φύσεσι τέλειος, ἵνα τὴν φθαρεῖσαν εἰκόνα ἀναστήσῃ τοῦ πτώματος· ὅθεν ὡς πάντων Σε καλῶν, αἰτίαν σέβομεν.

*ᾨδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.*

Ὑπερεύχου Θεῷ τῶν εὐφημούντων, σὲ ἐκ πόθου καὶ πίστει ἐκτελούτων, τὴν φωτοφόρον μνήμην σου τρισόλβιε, καὶ ὑπερυψούντων, Αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἥνπερ πόνοις πολλοῖς Πάτερ ἐκ βάθρων, τήνδε ποίμνην ἀνήγειρας φυλάττεις, μέχρις αἰῶνος ἀσινῆ ὑμνοῦσάν σε, ὡς φρουρὸν προστάτην, Συμεὼν τρισμάκαρ, καὶ οἰκιστὴν καὶ ῥύστην.

Μὴ ἐλλίπῃς ὑπὲρ ἡμῶν πρεσβεύων, τῶν τελούντων τὴν ἱεράν σου μνήμην, καὶ πρὸς Θεὸν ἀκοίμητον πανεύφημε, σὲ προβαλλομένων, πρέσβυν καὶ μεσίτην, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἱσταμένων βεβαίωσις ὑπάρχεις, καὶ πεσόντων ἀνόρθωσις Παρθένε· διὸ παραπεσόντα με ἀνάστησον, ἵνα Σε δοξάζω, τὴν κεχαριτωμένην, Μητέρα τοῦ Ὑψίστου.

*Ἕτερος. Τὸν ἐν καμίνῳ.*

Γενικωτάτας ἀρετάς, κεκτημένος πρὸς τὸ ὕψος ὑπερήρθης, καὶ κατέπαυσας χαίρων, ἐν οὐρανίοις σκηναῖς, τὰ γέρα ἀξίως τῶν πόνων σου, παρὰ τοῦ Ὑψίστου, ληψόμενος τρισμάκαρ.

Ἐπὶ τῆς γῆς μετὰ σαρκός, καθωράθης ἄνευ σώματος τρισμάκαρ· καὶ καλῶς ἠγωνίσω τὰς μηχανὰς τοῦ ἐχθροῦ· στεῤῥῶς καὶ τὰ κέντα ἀπήμβλυνας, ὑπερευλογῶν τὸν Χριστόν, εἰς τοὺς αἰῶνας.

Ῥῦσαι παντοίων δυσχερῶν, τῶν κακῶς ἐπερχομένων καθ’ ἑκάστην, ἐφ’ ἡμᾶς θεοφόρε, τοὺς τῷ σεπτῷ σου

ναῷ, ἀεὶ προσιόντας ἐκ πίστεως, ταῖς πρὸς τὸν Σωτῆρα, θερμαῖς σου ἱκεσίαις.

*Θεοτοκίον.*

Μόνη πασῶν τῶν γυναικῶν, τὸ ὀλίσθημα ἁγνὴ τῶν προπατόρων, ἀνοθρώσω ἐν Σοὶ γάρ, ὁ τοῦ ἀνάρχου Πατρός, ἀφράστως οἰκῆσαι ηὐδόκησεν· ἄνθρωπος δι’ οἶκτον γενόμενος ἀτρέπτως.

*ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ἐμάκρυνας ἡδέων Πάτερ σαυτόν, Συμεὼν τῷ Χριστῷ ἐκολλήθης δέ· ὅθεν πηγήν, πᾶσί σε ἀνέδειξε τοῖς ἐν γῇ, τῶν ἰαμάτων ἄφθονον, πάθη τὰ δυσίατα τῶν ψυχῶν, σωμάτων ἀλγηδόνας, παύοντα καὶ δαιμόνων, πόῤῥῳ διώκοντα τὴν δύναμιν.

Λαβών σου ἐπαυχένιον τὸν Σταυρόν, τῷ Δεσπότῃ τῷ σῷ ἠκολούθησας, πᾶσαν στοργήν, γήϊνον γονεῖς τε καὶ τὰ τερπνά, τοῦ βίου παρασάμενος· διὸ ἠξιώθης εἰς τὰς αὐλάς, ἐλθεῖν τὰς τοῦ Κυρίου, κοῦφος οὐρανοδρόμος, ἔνθα φωνὴ ἀγαλλιάσεως.

Χριστῷ συμβασιλεύειν ἀξιωθείς, Συμεὼν παμμακάριστε Ὅσιε, περιχαρῶς, μετὰ τῶν Ὁσίων ἐν οὐρανοῖς, τῷ τὴν ᾠδὴν ὑφάναντι, αἴτησον ἐξ ὕψους ἁμαρτιῶν, τὴν λύσιν καὶ ὑγείαν, ψυχῆς καὶ τοῖς ἐν πίστει, σοῦ ἐκτελοῦσι τὰ μνημόσυνα.

*Θεοτοκίον.*

Ἁγία Θεοτόκε Θεὸν σαρκί, ἀποῤῥήτως τεκοῦσα νῦν πρέσβευε, ἁμαρτιῶν, πάντων Σῷ ἀνάρχῳ ἁγνὴ Υἱῷ, ἰδεῖν τὴν λύσιν τάχιστα, ὁ πολλῶν πολλάκις Σου

δωρεῶν, ὑπὸ τῆς Σῆς Παρθένε, ἀξιωθεὶς ἀμάχου, καὶ εὐπροσδέκτου ἀντιλήψεως.

*Ἕτερος. Ἀνάρχου γεννήτορος.*

Ἀθλῆσαι ἑλόμενος ἐννόμως ἱερώτατε· τὰς ὁρμὰς ἐγκρατείᾳ παθῶν ἐμάρανας, καὶ παννύχῳ στάσει τὴν σάρκα ὡς πῶλον σοφέ, σκιρτῶσαν νεκρώσας ἐντεῦθεν οὐράνιοι, αἱ σκηνώσεις σε ἐδέξαντο.

Νοήματα Ὅσιε καὶ ῥήματα ἀνέβλυσεν, ἡ ψυχή σου θεόφρον ἀποδιώκοντα· ἄγνοιαν καρδίας καὶ λογισμῶν, σκοτόμαιναν πᾶσαν· διό σου γεραίρομεν, ἐτησίως τὰ μνημόσυνα.

Οἱ νόμοις ἑπόμενοι σοῖς Πάτερ καὶ ἐντάλμασι, καὶ τῷ θείῳ ναῷ σου προσεφέδρευοντες, νόσων καὶ δεινῶν συμπτωμάτων· Χριστὸν δυσωπεῖν, ἐξαιτοῦμεν πάντας ῥυσθῆναι πανόλβιε, καὶ παντοίας περιστάσεως.

*Θεοτοκίον.*

Σὲ Στάμνον καὶ Τράπεζαν καὶ Κλίνην καὶ Παλάτιον, Κιβωτόν τε καὶ Πλάκα καὶ Ὄρος ἄχραντε, πᾶσαι αἱ χορεῖαι τῶν Προφητῶν, προανακηρύττει ἡμεῖς τὰς ἐκβάσεις δέ, καθορῶντες μακαρίζομεν.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Τῆς οὐρανῶν Βασιλείας, ἱκέτευε ἐπιτυχεῖν, ἡμᾶς τοὺς σὲ ἀνυμνοῦντας, καὶ ἑορτάζοντας λαμπρῶς, τὴν σὲ ὑπέρλαμπρον μνήμην, ὦ Συμεὼν θεοφόρε.

*Ἕτερον. Ἐπεσκέψατο ἡμᾶς.*

Ἱκεσίαις ὁ Θεός, τοῦ Σοῦ Ὁσίου Συμεών, ῥῦσαι ἡμᾶς παντοδαπῶν, κινδύνων τε καὶ θλίψεων, καὶ τῆς μελλούσης κρίσεως, τοὺς ἐπὶ σοὶ πεποιθότας, τῷ Κτίστῃ τῆς κτίσεως.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Τοὺς ἱερούς σου ἀγῶνας πιστῶς γεραίρομεν, ἀσκητικοῖς καμάτοις, οὓς διήνυσας χαίρων, Συμεὼν τρισμάκαρ ὑπὲρ Χριστοῦ, τοῦ Σταυρὸν ὑπομείναντος, καὶ τὴν ἁγίαν σου μνήμην τῇ ἑαυτοῦ, ἀναστάσει νῦν ἐκλάμψαντος.

Ἡ τῶν λειψάνων σου θήκη Συμεὼν Ὅσιε, ὡς ποταμὸς ἐκβλύζει, τῶν ἰάσεων ῥεῖθρα, καὶ πάντων καταρδεύει τῶν εὐσεβῶν, τὰς καρδίας καὶ πρόσωπα, τῶν προσφοιτώντων ἑκάστοτε ἐν αὐτῇ, καὶ ὑμνούντων σου τὴν κοίμησιν.

Ῥωμαλαιότητι γνώμης σαρκὸς ὑπέταξας, τὰς ἐμπαθεῖς ὀρέξεις, τῇ ψυχῇ θεοφόρε· ὅθεν ἀνεδείχθης παναληθῶς, ἐκλογῆς σκεῦος τίμιον, καὶ λειτουργὸς τοῦ Κυρίου καὶ τῆς Αὐτοῦ, Ἐκκλησίας πύργος ἄσειστος.

Ἀπὸ παντοίων σκανδάλων καὶ πάσης θλίψεως, ἀπὸ παθῶν καὶ νόσων, τῶν ψυχῶν καὶ σωμάτων, βλάβης τε παντοίας καὶ ἀπὸ ἐχθρῶν, αἰσθητῶν νοουμένων τε, τοὺς σε τιμῶντας ἐκ πόθου σῶζε ἀεί, Συμεὼν ἀξιοθαύμαστε.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε τῶν φιλεόρτων τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, ἐν τῇ ἐνδόξῳ μνήμῃ Συμεὼν τοῦ θεόφρονος· καὶ τοῦτον τοῖς ᾄσμασιν ὡς ἄνθεσι καταστέψωμεν λέγοντες· Χαίροις, ὁ τὸν ἀόρατον ἐχθρόν, τῇ δυνάμει τοῦ Σταυροῦ ἀνδρικῶς τροπωσάμενος, καὶ τὰ τῆς σαρκὸς ἐνσκιρτήσεις τῇ νηστείᾳ καὶ προσευχῇ ἀπομαράνας· χαίροις, ὁ ἐν σώματι ὢν ἐπὶ γῆς ἀγγελικὴν πολιτείαν μετελθών· χαίροις, ὁ τὴν οἰκουμένην ὡς ὑπόπτερος διαδραμών, καὶ ταῖς διδαχαῖς σου ταύτην στηρίξας τῷ φόβῳ τοῦ Κυρίου· χαίροις, ὁ τὸ στέφος τῶν ἀγώνων σου δεξάμενος ἐκ χειρὸς τοῦ ἀγωνοθέτου· χαίροις, ὁ θαυμάτων τὴν χάριν παρὰ Θεοῦ κομισάμενος· διὸ Συμεὼν ἀξιάγαστε, ὡς τῷ θρόνῳ παριστάμενος, Θεοῦ τοῦ παμβασιλέως, καὶ ταῖς ἀΰλοις συνὼν χοροστασίαις, μέμνησο καὶ ἡμῶν τῶν ἐν πίστει τελούντων, τὴν πανσέβαστον καὶ πανένδοξον μνήμην σου.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

